φειν. καὶ ἐν τοῖς κάτω ὁ ποιητὴς τοῦτο καλεῖ, ἄλλος ἀνθο- A φόρον.

## ΕΠΙΡΡΗΜΑ.

BISETVS. Οἱ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιη.

Ημ. Εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν.

Ος τις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθαρεύει, B

Η γενναίων ὄργια μουσῶν μήτ' οἶδε πω, μήτ' ἐχόρευσε.

Μὴ δὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη.

Η βωμολόχοις ἔπεσι χαίρει, μὴ 'ν καιρῷ τοῦτο ποιοῦσιν.

Η στάσιν ἐχθρὰν μὴ καταλύει, μηδ' εὔκολός ἐστι πολίταις. C

Ἀλλ' ἀνεγείρει, καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν.

Η τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδοκεῖται,

Η προδίδωσι φρούριον, ἢ ναῦς, ἢ τἀπόρρητ' ἀποπέμπει

Εξ Αἰγίνης, Θωρυκίων ὤν, εἰκοστολόγος, κακοδαίμων, D

## SEMICHORION.

SEM. *Lingua fauisse decet, nostrisque choris decedere: quisquis*

*Horum inscius est sermonum, aut mentem habet impuram, aut generosa*

*Musarum orgia neque didicit vnquam, neque saltu celebrauit:*

*Neque item Bacchanali festo tauriuori voce Cratini*

*Initiatus fuit: aut verbis gaudet scurrilibus, & quæ*

*Non fiunt apto in tempore: quique hostilem seditionem*

*Non sedat, neque facilem se erga ciues præbet: sed vt auram*

*Agitat excitos: proprij illum stimulante Cupidine lucri.*

*Aut qui perturbatæ vrbi imperitãs sordida munera captat:*

*Aut præsidium, aut naues prodit: & ex Ægina vetitas res*

*Dimittit, sicut Thorycio: vigesimarũ miser ille*

Σχόλια. Εὐφημεῖν χρή.] ἐπὶ τοῦτον τὸν χορὸν λέγει Ἀρίσταρχος μεμερίσθαι εἰς μερικὰ ἀναπαιστικά, ἀλλὰ δὲ ἀμείβεσθαι τὸν χορόν. καὶ τί ἄρα συνοῖδεν ὁ Ἀρίσταρχος. δύναται δὲ καὶ σύζυγον εἶναι τὸ λεγόμενον, πολλαχοῦ δὲ μεμερίσθαι καὶ εἰς διχορείαν τὸ λοιπόν. ὥστε εἰς ιβ διαμεμερίσθαι. ἄλλως. εὐφημεῖν χρὴ στροφὴ καὶ ἔκθεσις χοροῦ ἐπιρρηματική. ἔθος γὰρ ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ ἐλέγχειν τοὺς πονηρευομένους. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιη. ὧν τελευταῖος καὶ παννυχίδας τὰς ἡμετέρας αἳ τῇδε πρέπουσιν ἑορτῇ, ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ λόγος ἀπὸ τοῦ ποιητοῦ, καίτοι δοκῶν εἶναι χοροῦ. ἰστέον δὲ ὅτι εἰ καὶ διὰ τοὺς ἐν ᾅδου μύστας φαίνεται λέγειν, ἀλλὰ τῇ ἀληθείᾳ διὰ τοὺς ἐν Ἐλευσῖνι. ἐνταῦθα καὶ ὑφίσταται ἡ σκηνὴ τοῦ δράματος. E

BISETVS. Μήτε Κρατίνου τοῦ ταυροφάγου] τὰ παλαιὰ σχόλια οὕτω γραπτέον ὡς ἐν τῷ Σουίδᾳ καλῶς ἔχει ἐν τῇ λέξει τῇ ταυροφάγος. Ταυροφάγον, τὸν Διόνυσον ὁ Σοφοκλῆς ἐν Τυροῖ καλεῖ. ἀντὶ τοῦ ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν ὠμιστήν. ἀφ' οὗ καὶ ἐπὶ τοῦ Κρατίνου μετήνεγκε τὸ ὄνομα Ἀριστοφάνης. F

Ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθαρεύοι,
Ἢ γενναίων ὄργια Μουσῶν μήτ' οἶδε πω, μήτ' ἐχόρευσε.
Μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη.

Τοὺς περὶ Ἀρίσταρχον οἰομένους ὅτι ταῦρος ἦν αὐτοῖς ἔπαθλον, φασὶ ψεύδεσθαι. εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς. Διονύσου τοῦ ταυροφάγου. καὶ ὅτι φίλοινος ἦν. καὶ διὰ τοῦτο ἐπίθετον τοῦ Διονύσου αὐτῷ περιτιθέασιν. οἱ δὲ ἔτι περιεργότερον τὸν λόγον ἀποδιδόασι, μητέρα Κρατίνου, ἥτις βακχεῖα ἐτελέσθη, ὅ ἐστι τοῦ μοσχοφάγου Διονύσου. ἢ τολμηρόν, ἀπὸ τῶν Βακχῶν. τολμηροὺς γὰρ τοὺς Ἀθηναίους διέσυρεν ἐν τοῖς δράμασι. G

Σχόλια. Μήτε Κρατίνου.] τοὺς περὶ Ἀριστόξενον οἰόμενος ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαθλον. εἴρηται δὲ παρὰ Σοφοκλέους ἐκ Τυροῦς, Διονύσου τοῦ ταυροφάγου. ἢ ὅτι φίλοινος ἦν, καὶ διὰ τοῦτο ἐπίθετον αὐτῷ τοῦ Διονύσου ἐπιτιθέασιν. οἱ δὲ ἔτι περιεργότερον ὅλον τὸν λόγον ἀποδιδόασι. μήτε Κρατίνου βακχεῖ' ἐτελέσθη, ὅ ἐστι τοῦ μοσχοφάγου Διονύσου. ἢ τολμηρὰ ἀπὸ τῶν Βάκχων. τολμηροὺς γὰρ τοὺς Ἀθηναίους διέσυρεν ἐν τοῖς δράμασι. τινὲς δὲ τοῦ ταῦρον ἔπαθλον λαμβάνοντος. ἢ τοῦ λαιμάργου. Βωμολόχοις δὲ τοῖς πρὸς χάριν λέγουσι καὶ πρὸς κολακείαν. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετενήνεκται ἡ λέξις. οὗτοι γὰρ ὑπὸ τῶν βωμῶν πολλὰ λιπαροῦσι, κολακεύοντες λαβεῖν τι παρὰ τῶν θυόντων. Η προδίδωσι φρούριον.] πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας. τὰ γὰρ ἀπόρρητα ἤκουσιν, ὡς νῦν ἡμῖν ἔθος. διὸ καὶ ἐντεῦθεν λοιδορεῖται τῷ Θωρυκίωνι. καὶ αὐτὸς ὅσον μὴ οἶδεν. ἀπόρρητα δὲ ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι. ἐν γοῦν τούτοις ἀποφέρει ἀσκώματα. καὶ λίνα. καὶ πίτταν. δῆλον ὅτι οὐδὲν ἔδει ἀποπέμπειν τούτων ἐξ Αἰγίνης, ὢν Θωρυκίων τὰ ἀπόρρητα Ἀθήνηθεν ἀποπέμπει. ὅτε οὖν πρὸς τοὺς Πελοποννησίους ἦν ὁ πόλεμος, ἀπόρρητα τὰ πρὸς ναυπηγίαν ἐξάγειν. ἤτοι δὲ ὁ Θωρυκίων ἐξ Αἰγίνης ὤν, ἢ εἰς Αἴγιναν ἐξάγων. καθὸ δὴ κοινὸν ἐμπόριον ἡ Αἴγινα. οὗτος δὲ ταξίαρχος ἦν ἐν τοῖς Πελοποννησιακοῖς τῶν Ἀθηναίων. ὁ δὲ Πίσαν ἔπεμψε τοῖς ἀντιπάλοις εἰς τὸ ἀνάψαι τὴν αὐτοῦ πόλιν. ὅθεν γνωσθεὶς, ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. τινὲς δὲ Θορυκίων γράφουσιν, ἀντὶ τοῦ τὰ τῶν Θορυκίων μιμούμενος. Εἰκοστολόγος.] τὰ εἰκοστὰ ἐν τῇ κρίσει συνάγων,